ΧΟ. Εἰ σὺ μέγ' αὐχεῖς, ἕτεροι
σοῦ πλέον οὐ μέλονται,
ξεῖν' Ἀργόθεν ἐπελθών.
μεγαληγορίαισι δέ γ' ἐμὰς
φρένας οὐ φοβήσεις.
μήπω ταῖς μεγάλαισιν οὕτω
καὶ καλλιχόροις Ἀθάναις
εἴη. σὺ δ' ἄφρων, ὅ τ' Ἄργει
Σθενέλου τύραννος.—
Ὃς πόλιν ἐλθὼν ἑτέραν
οὐδὲν ἐλάσσον' Ἄργους,
θεῶν ἵκτορας ἀλάτας,
καὶ ἐμᾶς χθονὸς ἀντεχομένους,
ξένος ὢν βιαίως
ἕλκεις, οὐ βασιλεῦσιν εἴξας,
οὐκ ἄλλο δίκαιον εἰπών.
ποῦ ταῦτα καλῶς ἂν εἴη
παρά γ' εὖ φρονοῦσιν;—
Εἰρήνα μὲν ἔμοιγ' ἀρέσκει.
σὺ δ', ὦ κακόφρων ἄναξ,
λέγω, εἰ πόλιν ἥξεις,
οὐχ οὕτως ἃ δοκεῖς κυρήσεις.
οὐ σοὶ μόνῳ ἔγχος, οὐδ' ἰ-
τέα κατάχαλκός ἐστιν.
ἀλλ' οὐ πολέμων ἐραστὰς,
μή μοι δορὶ συνταράξῃς
τὰν εὖ χαρίτων ἔχουσαν
πόλιν, ἀλλ' ἀνάσχου.—

361. ὅτ' Ἄργει
365. ἱκτῆρας
371. πάραγ' εὐφρονοῦσιν.
379. συναράξῃς
380. τὰν εὐχαρίστων